θῇς καὶ τοῦτον κἀκεῖνον τὸν αἰῶνα, ἐξὸν ἀμφοτέρους κερδᾶναι, εἰ βούλοιο. Ὅτι δὲ καὶ τὰ ἐνθάδε κερδαίνουσιν οἱ Χριστῷ ζῶντες, διδάσκει Παῦλος λέγων· « Ἐγὼ δὲ ὑμῶν φείδομαι. » Καὶ πάλιν· « Τοῦτο δὲ λέγω πρὸς τὸ ὑμῖν συμφέρον. » Ὁρᾷς ⟨τοίνυν, ὦ Θεόδωρε⟩, ὅτι καὶ ἐνταῦθα τοῦ γεγαμηκότος ἀνώτερος ὁ τὰ τοῦ Κυρίου μεριμνῶν; Οὐκ ἔστιν ἀπελθόντα ἐκεῖ μετανοῆσαι. Οὐδεὶς ἀθλητής, ἐπειδὰν ἐξέλθῃ τὸ στάδιον καὶ διαλυθῇ τὸ θέατρον, πάλιν δύναται ἀναπαλαίειν [ἢ ἀγωνίσασθαι]. Ταῦτα ἀεὶ λογίζου καὶ τὴν ὀξεῖαν τοῦ πονηροῦ μάχαιραν συντρίψεις δι' ἧς πολλοὺς ἀναιρεῖ· [αὕτη δέ ἐστιν ἀπόγνωσις], διότι τοὺς καταβληθέντας ἐκκόπτει τῆς ἐλπίδος. Ἰσχυρὸν τοῦτο τὸ ὅπλον ⟨αὐτοῦ⟩ καὶ τοὺς ἁλόντας ἑτέρως οὐ κατέχει ἀλλ' ἢ τούτῳ δεσμεύων τῷ δεσμῷ, ὃν ἐὰν ἐθέλωμεν, θεοῦ χάριτι, διαρρῆξαι δυνησόμεθα ταχέως.

**6.** Οἶδα τὸ μέτρον ἐξελθὼν τῆς ἐπιστολῆς, ἀλλὰ συγγνῶθι· οὐ γὰρ οὐχ ἑκὼν εἰς τοῦτο προῆλθον, ἀλλ' ὑπὸ τῆς λύπης καὶ τῆς ἀγάπης ἀναγκασθείς, δι' ἣν καὶ ταύτην ἐβιασάμην ἐμαυτὸν γράψαι τὴν ἐπιστολήν, πολλῶν κωλυόντων καὶ λεγόντων· « Παῦσαι ματαιοπονῶν καὶ κατὰ πετρῶν⟨οἷον⟩ σπείρων. » Ταῦτα ἔλεγόν μοι πολλοί. Ἐγὼ δὲ οὐδενὸς ἤκουσα· ἐλπὶς γάρ,